καὶ Σωκράτην δεικνῦντα τοῖς ξυνοῦσιν ἑαυτὸν καλὸν
κἀγαθὸν ὄντα, καὶ διαλεγόμενον κάλλιστα περὶ ἀρε-
τῆς καὶ τῶν ἄλλων ἀνθρωπίνων. Οἶδα δὲ κἀκείνω
σωφρονοῦντε, ἔστε Σωκράτει συνήστην, οὐ φοβουμένω
μὴ ζημιοῖντο ἢ παίοιντο ὑπὸ Σωκράτους, ἀλλ᾽ οἰομένω
19 τότε, κράτιστον εἶναι τοῦτο πράττειν. Ἴσως οὖν
εἴποιεν ἂν πολλοὶ τῶν φασκόντων φιλοσοφεῖν, ὅτι
οὐκ ἄν ποτε ὁ δίκαιος ἄδικος γένοιτο, οὐδὲ ὁ σώφρων
ὑβριστής, οὐδὲ ἄλλο οὐδὲν ὧν μάθησίς ἐστιν ὁ μαθὼν
ἀνεπιστήμων ἄν ποτε γένοιτο. Ἐγὼ δὲ περὶ τούτων
οὐχ οὕτω γιγνώσκω· ὁρῶ γάρ, ὥσπερ τὰ τοῦ σώμα-
τος ἔργα τοὺς μὴ τὰ σώματα ἀσκοῦντας οὐ δυναμένους
ποιεῖν, οὕτω καὶ τὰ τῆς ψυχῆς ἔργα τοὺς μὴ τὴν ψυ-
χὴν ἀσκοῦντας οὐ δυναμένους· οὔτε γάρ, ἃ δεῖ, πράτ-
20 τειν, οὔτε, ὧν δεῖ, ἀπέχεσθαι δύνανται. Διὸ καὶ
τοὺς υἱεῖς οἱ πατέρες, κἂν ὦσι σώφρονες, εἴργουσιν ὅμως
ἀπὸ τῶν πονηρῶν ἀνθρώπων, ὡς τὴν μὲν τῶν χρηστῶν
ὁμιλίαν ἄσκησιν οὖσαν τῆς ἀρετῆς, τὴν δὲ τῶν πονη-
ρῶν, κατάλυσιν. Μαρτυρεῖ δὲ καὶ τῶν ποιητῶν ὅ
τε λέγων,

Ἐσθλῶν

§. 19. οὖν] Iunt. ἂν, corrupte.

ἄλλο οὐδὲν] H. e. κατ᾽ ἄλλο οὐδὲν ἐκείνων.

σώματα] Stobaeus p. 207 laudat τοῦ σώματος, male. Eandem sententiam exponit Cyrop. VII, 5, 75.

τὰ τῆς ψυχῆς] Iunt. deest τά.

§. 20. εἴργουσιν ὅμως] Sic ducibus MS. 2 et MSS. Vindob. verba collocauit Ernestus. Sed in Iunt. et Cod. Florent. A. C. E. et Parif. 3 plane abest ὅμως: Aldina et hinc Stephaniana reponit ὅμως post ἀνθρώπων: qui ordo potest fortassis defendi loco Terent. Eun. V, 2, 27 *at tu indignus qui faceres tamen:* Stobaeus, Brodaeus et MS. Vindob. 2 cum Parif. 1 et Vatic. 1. ponunt ὅμως ab initio et εἴργουσιν in extremo: ed. Parisina vtrumque verbum ponit in extremo. Equidem auctoritate Iuntinae delendum puto ὅμως, quod ad ellipsin haud inusitatam supplendum sit fictum. Rei indicio est ipsa eius sedes vaga et incerta.

ὡς — οὖσαν] Est modus dicendi exquisitus et nostro valde vsitatus, pro νομίζοντες — εἶναι. Sic est cap. 3, 2 ὡς — εἰδότας pro νομίζων — εἰδέναι. Plura exempla sunt Cyrop. I, 4, 23: I, 6, 1. 35: IV, 5, 53: V, 5, 47: VI, 1, 10: VIII, 1, 46 etc. Quare infinitiuum εἶναι, quod in MS. Stobaei reperit Ernestus, a sciolo fictum esse censeo.

κατάλυσιν] Laudat Simsonus illud 1 Cor. XV, 33: φθείρουσιν ἤθη χρῆσθ᾽ ὁμιλίαι κακαί.

ὅ τε λέγων] Delet τε MS. 2, male: respondet sequenti καὶ ὁ λέγων. *Ern.*

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id375455116/46 gefördert von der Deutschen Forschungsgemeinschaft